# TEZAUR LITURGIC

## 31 MAI

## ISIDORA AGHIROTITISSA

# SLUJBA SF.MUCENIȚE PETRONELA DE LA ROMA

ATENA,2015


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 31 ΜΑΪΟΣ
# ΠΕΤΡΟΝΙΛΛΑ ΑΓΙΑ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Ισιδώρας Μοναχής Αγιεροθεϊτίσσης**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ’ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α’. Τῶν οὐρανίων ταγμάτων.

Τῆς Ἐκκλησίας τὸ ἄνθος τὸ εὐωδέστατον, τῶν ἀρετῶν τὸν πλοῦτον, Παραδείσου τὸ κάλλος, Πέτρου Ἀποστόλου τὴν ἐκλεκτήν, θυγατέρα τιμήσωμεν, τὴν Πετρονίλαν ἑόρτιον εἰς χαράν, ἐν φωνῇ ἀγαλλιάσεως.

Βησθαϊδὰ ἡ πατρίς σου ἡ θεοβάδιστος, περιχαρῶς καυχᾶται, τῇ ἁγίᾳ σου μνήμῃ, θεία Πετρονίλα τῶν γυναικῶν, τῶν Ἁγίων τὸ σέμνωμα, ἡ βεβαιώσασα πράξεσιν ἀγαθαῖς, τὴν πρὸς Κύριον ἀγάπην σου.

Εἰς τὴν ἀκράδαντον πέτραν τῆς θείας πίστεως, ἐν πεποιθήσει πάσῃ, Πετρονίλα Ἁγία, ἔστησας τοὺς πόδας τοὺς νοητούς, τῆς καρδίας σου πάνσεμνε, Εὐαγγελίου τὴν τρίβον· ὅθεν καλῶς, τὴν εὐθεῖαν τετελείωκας.

Χαριτωθεῖσα τῇ αἴγλῃ τοῦ θείου Πνεύματος, ἁγιασμοῦ μετέσχες, ἐκ παιδὸς Πετρονίλα· ὅθεν τοῦ χρυσίου τοῦ ἐπὶ γῆς, θαυμαστοῦσαι λαμπρότερον, καὶ ὡραΐζεις τὰ πέρατα νοητῶς, εὐπρεπείᾳ τῶν χαρίτων σου.

*Δόξα. Ἦχος α΄.*

Ἀποστολικῆς τιμῆς ἀκόλουθος ἐστίν, ἡ σήμερον ἡμέρα, δεῦτε πιστοὶ σκιρτήσατε τῷ πνεύματι. Πετρονίλα γάρ, ἡ θυγάτηρ ἡ σεμνή, Πέτρου τοῦ κορυφαίου καὶ μεγάλου τῶν Ἀποστόλων, συγκαλεῖται ἡμᾶς εἰς ἑόρτιον χαράν, καὶ εἰς κορύφωσιν ἱερᾶς καὶ πνευματικῆς ἀγαλλιάσεως, τοῦ βοᾶν μεγάλῃ τῇ φωνῇ· χαίροις, τῶν Ἁγίων Γυναικῶν ἡ καλλονή, καὶ πάντων τῶν πιστῶν πρέσβυς εὐμενὴς πρὸς Κύριον.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Πέτρος ἡ κορυφή, τῶν θείων Ἀποστόλων, περιχαρῶς σκιρτάτω, τῇ μνήμῃ Πετρονίλης, πατὴρ γὰρ ταύτης πέφυκε.

Στ.: *Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις.*

Χαίροις Βηθσαϊδά, ἡ πόλις Ἰουδαίας, καὶ γὰρ ἡ Πετρονίλα, ἐκ σοῦ ὡς θεῖον ἄνθος, τῆς πίστεως ἀνέθαλεν.

Στ.: *Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ.*

Χαίρουσι μαθηταί, Χριστοῦ τῆς Πετρονίλης, τῇ πανηγύρει πάντες, τῷ πνεύματι ἐκ Πέτρου, συγγένειαν γὰρ ἔχουσιν.

*Δόξα. Τριαδικόν.*

Ἕνα συμπροσκυνῶ, Θεὸν τρισὶ προσώποις, ἐξ οὗ τὸ εἶναι ἔχω, Πατέρα σὺν Υἱῷ τε, καὶ Πνεῦμα τὸ πανάγιον.

*Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα Μαριάμ, Κυρία τῶν Ἀγγέλων, ἐλπὶς περάτων κόσμου, Θεὸν ταῖς μητρικαῖς Σου, πρεσβείαις ἐξιλέωσαι.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α’. Τῆς ἐρήμου πολίτης.*

Τῆς σεμνῆς βιοτῆς σου Πετρονίλα τὰς χάριτας, πόθῳ φιλαγίῳ τιμῶμεν, καὶ πιστῶς ἐκθειάζομεν· σαρκός σου γὰρ νεκρώσασα ὁρμάς, τοῦ Πνεύματος ἐδέξω δωρεάς, καὶ σὺν Πέτρῳ Ἀποστόλῳ τῷ σῷ πατρί, τὴν Βασιλείαν ἔλαβες· χαίροις, τῆς θείας πίστεως λαμπάς, χαίροις ἐλπίδος δώρημα, χαίροις τῆς θεωρίας ἡ βαθμὶς ἀγάπης ἡ τελείωσις.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ’ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α’. Πανεύφημοι Μάρτυρες

Ἀγάλλου πληρότητι χαρᾶς, Ἰουδαία σύμπασα, Βηθσαϊδά τε ἡ πόλις σου, τὰς χεῖρας κρότησον, τῆς τιμῆς τὸ χρέος, Πετρονίλῃ φέρουσαι, τοῦ Πέτρου θυγατρὶ καὶ ὁμόθρονι, πιστῶν τε πλήρωμα, ἐν αἰνέσει μεγαλύνωμεν, τὰ μεγάλα ταύτης προτερήματα.

Ὡς προίκαν πολύτιμον Χριστῷ, Πετρονίλα ἔφερες, τῆς σῆς καρδίας τὸν ἔρωτα, ἀγάπην πρόκριτον, σταθηράν τε πίστιν, καὶ ἐλπίδα ἄψευστον, τῶν θείων ἀρετῶν τὸ κεφάλαιον· δι' ὧν παρίστασαι, τῷ Κυρίῳ ἐν ἐγγύτητι, καὶ οἰκείως Τοῦτον εὐμενίζουσα.

Τῆς πίστεως πέτραν εἰς στεῤῥάν, Πετρονίλα ἔστησας, ἐν πεποιθήσει τοὺς πόδας σου, καλῶς τε ἔδραμες, σωτηρίας τρίβον, ἐντολὰς φυλάξασα, καρδίας καθαρότητι πάνσεμνε· διὸ καὶ ἔλαβες, θείας δόξης βραβευτήρια, τῆς εὐκλείας τοῦ Θεοῦ μετέχουσα.

*Ἕτερα. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.*

Ἐν σπουδῇ φιλοπόνῳ σου, Πετρονίλα ἐπηύξησας, τῶν ταλάντων πλοῦτόν σου τὸν ὑπέρτιμον, καὶ ἀγαθαῖς ἐργασίαις σου, Χριστῷ τῷ Δεσπότῃ σου, εὐηρέστησας καλῶς, τὸν μισθὸν ὅθεν εἴληφας, τὸν ἐπάξιον, τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων, καὶ χαρᾶς ἀνεκλάλητου, ἐν κοινωνίᾳ γεγένησαι.

Τῆς ψυχῆς τὴν λαμπάδα σου, ἐν ἐλαίῳ ἐπλήρωσας, τῆς ἐνθέου νήψεως καὶ συνέσεως, ὦ Πετρονίλα ἀοίδιμε, τῷ πόθῳ γὰρ τέτρωσαι, τοῦ Νυμφίου σου Χριστοῦ, καὶ Αὐτοῦ τοῖς θελήμασιν, ὑπακούσασα,

χαρακτήρ τε καὶ τύπος σωφροσύνης, καὶ συνέσεως ἐγένου, τὸ ἱλαρώτατον γνώρισμα.

Κοσμιότητι βίου σου, καὶ ἠθῶν τελειότητι, Πετρονίλα πάνσεμνε καθωράϊσας, καὶ εὐπρεπῶς κατεστόλισας, τὸ ἔνδοθεν ἔνδυμα, τῆς ψυχῆς σου καὶ αὐτήν, ταῖς χερσὶ τοῦ Κυρίου σου, ἐναπέθηκας, σὺν δικαίων χοροῖς ἀγαλλομένη, μακαρίου φωτισμοῦ τε, τὰς καλλονὰς ἀτενίζουσα.

*Δόξα. Ἦχος α’.*

Τὴν σὴν κατ’ οἶκον ἐκκλησίαν, ὕμνοις ἐγκωμίων μακαρίζω, καὶ ᾠδαῖς ἐξαιρέτοις εὐφημῶ, Πέτρε τοῦ Κυρίου παμμακάριστε Ἀπόστολε. Τοὺς παῖδάς σου ὡσαύτως, καὶ τὰ κατὰ φύσιν τέκνα σου τιμῶ, σοὶ γὰρ στέφανος εἰσὶ τιμῆς, καὶ δόξης περιβόλαιον. Καὶ νῦν τῆς θυγατρός σου Πετρονίλης, τὴν ἑόρτιον δοξάζων μνήμην, τῷ πνεύματι ἀγαλλόμενος οὕτω βοῶ σοι· πρεσβεύσατε συνάμα Κυρίῳ τῷ Θεῷ, τοῦ στερεῶσαι καὶ ἡμᾶς ἐν τῇ πέτρᾳ τῆς πίστεως, καὶ μὴ ἐκκλίνειν ἐν τοῖς σκολιοῖς τῆς ἀπιστίας ἀθετήμασιν. Ἀλλὰ μένειν ἄχρι τέλους στερεοί, ἵνα τῶν φρονίμων δούλων τὸν μισθόν, ἀκεραίως λάβωμεν, παρὰ τοῦ Δεσπότου καὶ Θεοῦ, τοῦ ἔχοντος συμπαθείας πέλαγος ἀμέτρητον.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ, λα'. 10-31)*

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοὺ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει. Ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ πάντα τὸν βίον. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε  πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν ποὺ χρονίζῃ· πάντες γὰρ οἱ παρ' αὐτῆς ἐνδεδυμένοι βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ ἐγένετο ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς. σινδόνας ἐποίησε καὶ ἀπέδοτο τοῖς Φοίνιξι, περιζώματα δὲ τοῖς Χαναναίοις. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ  εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. Στόμα αὐτῆς διήνοιξε προσεχόντως καὶ ἐννόμως καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς. στεγναὶ διατριβαὶ οἴκων αὐτῆς, σῖτα καὶ νομοθέσμως, ἡ δὲ ἐλεημοσύνη αὐτῆς

ἀνέστησε τὰ τέκνα αὐτῆς, καὶ ἐπλούτησας, καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν. Πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν, σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῆρας πάσας. Ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικός· γυνὴ γὰρ συνετὴ εὐλογεῖται, φόβον δὲ Κυρίου αὕτη αἰνείτω. Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ, γ'. 1-10)*

Υἱέ, ἐμῶν νομίμων μὴ ἐπιλανθάνου, τὰ δὲ ῥήματά μου τηρείτω σὴ καρδία· μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς καὶ εἰρήνην προσθήσουσί σοι. ἐλεημοσύναι καὶ πίστεις μὴ ἐκλιπέτωσάν σε, ἄφαψαι δὲ αὐτὰς ἐπὶ σῷ τραχήλῳ, καὶ εὑρήσεις χάριν· καὶ προνοοῦ καλὰ ἐνώπιον Κυρίου καὶ ἀνθρώπων. ἴσθι πεποιθὼς ἐν ὅλῃ τῇ καρδίᾳ ἐπὶ Θεῷ ἐπὶ δὲ σῇ σοφίᾳ μὴ ἐπαίρου· ἐν πάσαις ὁδοῖς σου γνώριζε αὐτήν, ἵνα ὀρθοτομῇ τὰς ὁδούς σου, ὁ δὲ πούς σου μὴ προσκόψῃ. μὴ ἴσθι φρόνιμος παρὰ σεαυτῷ, φοβοῦ δὲ τὸν Θεὸν καὶ ἔκκλινε ἀπὸ παντὸς κακοῦ· τότε ἴασις ἔσται τῷ σώματί σου καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου. τίμα τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης, ἵνα πίμπληται τὰ ταμιεῖά σου πλησμονῆς σίτῳ, οἴνῳ δὲ αἱ ληνοί σου ἐκβλύζωσιν.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.(Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ

ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Βησθαϊδὰ τῆς Ἰουδαίας, ἡ πόλις ἡ ἱερά τε καὶ περιώνυμος, σκιρτᾶ μητροπρεπῶς, καὶ χαίρει τῷ πνεύματι, πανήγυριν ἄγουσα καὶ πάλιν χαρμόσυνον, ἀποστολικὴν ἔχουσαν ὧδε, τιμήν τε καὶ συγγένειαν· ἀξίως γὰρ ταύτην τὴν θεοβάδιστον πόλιν, ὁ τῶν Ἀποστόλων κορυφαῖος καὶ ἐξέχων Πέτρος, ἐδόξασε ταῖς ἀριστείαις τῶν αὐτοῦ ἀποδομάτων. Πρωτίστως δέ, τῇ τῶν παίδων αὐτοῦ ἀνατροφῇ, καὶ τῇ ἐν Κυρίῳ αὐτῶν συνετεῖ παιδείᾳ· ἐν οἷς Πετρονίλα, ἡ ἐκλεκτὴ αὐτοῦ καὶ θεόφρων θυγάτηρ, ἑορτίως σήμερον ἐν ᾀσμάτων ᾠδαῖς μεγαλύνεται. Παρ᾽ ἡμῶν δὲ τὰς φωνὰς δεχέσθω, αἰτουμένων τὰς αὐτῆς πρὸς τὸν Θεόν, εὐπροσδέκτους παρακλήσεις, ὅπως λάβωμεν τῶν εὐγνωμόνων ἱκετῶν, τὴν ἐν ἐλέει παρήγορον προσδοκίαν καὶ ἀπόλαυσιν.

*Ἦχος β΄.*

Πετρονίλα ἡ θαυμαστὴ τοῦ Θεοῦ ἡμῶν θεράπαινα, λαβέτω σήμερον τὸ δίκαιον ὄφλημα, τῶν ἑορτίων ἐπαίνων τῆς ἱερᾶς αὐτῆς πανηγύρεως. Καὶ γὰρ αὕτη ᾔνεσεν ἐν βίῳ τὸν Θεόν, καὶ ἐν ἔργοις καλοῖς καὶ ἀγαθοῖς, τὸ ὄνομα τὸ ἅγιον Αὐτοῦ, ἐνδόξως καὶ πανυπερτίμως ἐδόξασεν. Αὐτῆς ταῖς ἱκεσίαις καὶ ἡμεῖς, τὸν καλὸν τῶν ἀρετῶν στάδιον, προθύμως ἐπὶ γῆς διατρέξωμεν, ὅπως λάβωμεν ἐν οὐρανοῖς, τῆς αἰωνίου δόξης τὸν στέφανον.

*Ἦχος γ΄.*

Τῆς ἱερᾶς σου πολιτείας τὰς χάριτας, ποίοις ὕμνοις ἱκανῶς ἐκθειάσω, ὦ Πετρονίλα πάνσεμνε, Πέτρου τοῦ πρωταποστόλου θυγάτερ ἀξιΰμνητε; Ἢ ποῖος λόγος ἐξαρκέσει, διηγήσασθαι ἀξίως, τῶν σῶν χαρισμάτων τὴν πληθύν, καὶ τῆς σῆς πολιτείας τὰ ἐξαίρετα; Διό σε θαυμάζοντες, βοῶμεν γηθοσύνως ἐν φωνῇ ἀγαλλιάσεως, τὸ χαῖρέ σοι δούλη τοῦ Κυρίου πιστὴ καὶ ἀγαθή, ἡμῶν τε τῶν πιστῶν πρὸς τὸν Θεόν, πρέσβυς εὐπροσήγορος.

*Ἦχος δ΄.*

Ἄμεμπτός σου ὁ τρόπος, καὶ τὸ πολίτευμά σου ἅγιον, ὦ Πετρονίλα ἀληθῶς ἐγνώρισται· διὸ καὶ ὁ μισθός σου ἐν οὐρανοῖς, πολὺς ὑπάρχεις καὶ ἀναφαίρετος. Τὰς ἐντολὰς γὰρ τοῦ Εὐαγγελίου, πόθῳ γνησίῳ καὶ στοργῇ ἀνυποκρίτῳ ἠγάπησας, καὶ ἐπιμελείᾳ καλῇ τῆς συνειδήσεώς σου ἐφύλαξας. Τῶν δὲ γηΐνων ὁ δεσμός, οὐχ ἥψατο τῆς εὐγενοῦς σου

καρδίας, ἀλλὰ ταύτην ἐλευθέραν ἔσχες, καὶ Θεῷ ἀπέδωκας τῆς καθαρᾶς σου ἀγάπης τὰ πρωτεῖα, ὡς ἐν τῇ Διαθήκῃ Αὐτοῦ ἡμῖν ἐντέλλεται.

*Ἦχος πλ. α΄.*

Ἐπὶ τὴν ἀσάλευτον βάσιν τῆς πίστεως, καὶ ἐπὶ τὴν στερεὰν πέτραν τῶν ἁγίων ἐντολῶν, ἔστησας τοὺς πόδας σου ἐν πεποιθήσει ἀκλινεῖ, ὦ Πετρονίλα παμμακάριστε· διὸ καὶ τοῦ ἐχθροῦ ἐνίκησας τὴν τυραννοῦσαν ἐξουσίαν, καὶ τῶν παθῶν τὴν νέκρωσιν ὁλοτελῶς ἐπέτυχες, τῆς ἀπαθείας τὴν στολὴν περιβληθεῖσα· ἐν κοσμιότητι καὶ νῦν κεκοσμημένη, καὶ τοῖς ψυχικοῖς στολίσμασιν ὡραϊζομένη, τῷ θρόνῳ τοῦ Θεοῦ ἐν ὑψηλοῖς παρίστασαι, Αὐτὸν ἐξευμενίζουσα ταῖς σαῖς εὐχαῖς, ὑπὲρ τῶν ἐκτελούντων σου τὴν μνήμην τὴν πανέορτον.

*Ἦχος πλ. β΄.*

Ἐν σεμνοπρεπείας ἱλαρότητι, φαιδρύνεις τῆς Ἐκκλησίας τὸ στερέωμα, ὦ Πετρονίλα ἀξιάγαστε, καὶ τῷ φωτὶ τῆς δόξης σου, καταυγάζεις νοητῶν τῶν εὐσεβῶν τὸ πλήρωμα. Σὺ γὰρ μαθοῦσα τοῦ Θεοῦ τὴν δι’ ἡμᾶς οἰκονομίαν, ὡς σοφὴ καὶ συνετή, τῆς ἀληθείας τὴν ὁδὸν ἐβάδισας, καὶ τὴν δικαιοσύνην ἠγάπησας, ἐξ ἧς πηγάζει πᾶσα ἀγαθοδωρία. Πλήρης οὖν τῶν ἀγαθῶν, τῶν οὐρανίων γενομένη, ἀγαθύνεις τοὺς ὑμνοῦντας, τὰ μεγαλεῖα τῶν προτερημάτων σου.

*Δόξα Ἦχος πλ. δ΄.*

Ἀξίως τοῦ ὀνόματος ἐπολιτεύσω, καὶ τὴν Χριστώνυμόν σου κλῆσιν ἐδικαίωσας, ὦ Πετρονίλα

παναοίδιμε· ἐν πίστει γὰρ ἐστερώσαι, ἐν τῇ ἐλπίδι ἐβεβαιώθης τῇ καρδίᾳ, ἐν δὲ τῇ ἀγάπῃ πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον, ἥτις ἐστὶ τοῦ νόμου πλήρωμα καὶ κεφάλαιον, σὺ ὑπερπλειόντως ἠρίστευσας, καὶ διεκρίθης θαυμαστῶς. Πᾶσάν τε ἄλλην βαθμίδα ἀρετῶν, ἐν προκοπῇ χρηστοηθείας εὐχερῶς ἀναβέβηκας, καὶ τῷ Θεῷ ἐγγύτατα παρέστηκας· ἐν ἐγγύτητι Αὐτῷ πλησιάζειν, καταξίωσον καὶ ἡμᾶς, τοὺς σέβοντάς σου εὐλαβῶς, τῶν σῶν κατορθωμάτων τὰ ἐξαίσια.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.*

Χαίροις, τῶν ἱερῶν γυναικῶν, τὸ ἐκλεκτὸν καὶ θαυμαστόν τε κεφάλαιον, τοῦ κάλλους ἡ δαδουχία, σεμνοπρέπειας εἰκών, ταπεινοφροσύνης τὸ κεφάλαιον, τῆς θείας ἀγάπης, ἡ ἀκριβὴς διατύπωσις, ἀγαθωσύνης, ἡ βεβαία ἀπήχησις, ἡ τῆς πίστεως, τῆς ἁγίας φερώνυμος, λύχνος ὁ ἱλαρώτατος, ὁ φαίνων τοῖς πέρασιν, Εὐαγγελίου τὸν νόμον, τὸν ἀληθῆ τε καὶ τέλειον, ζωῆς τε τὴν τρίβον, ἐν εὐθύτητι εὐχῶν σου, πιστοῖς δεικνύουσα

Στ.: *Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις.*

Πέτρος, ὁ μαθητὴς τοῦ Χριστοῦ, τῶν Ἀποστόλων ὁ ἐξέχων καὶ πρώτιστος, πατήρ σου ὡς ὢν τῇ μνήμῃ, τῇ ἱερᾷ σου σκιρτᾷ, Πετρονίλα θεία καὶ ἀοίδιμε· καλεῖ τε εἰς αἶνον, πανεορτίου συνάξεως, χοροὺς Ἁγίων, τῶν

Ἀγγέλων τὰ τάγματα, καὶ τὸ πλήρωμα, τῶν πιστῶν τοῦ βοῆσαί σοι· χαίροις Θεοῦ θεράπαινα, ἡ στάθμη τῆς πίστεως, ἣν ἐναρέτοις σου τρόποις, καὶ πολιτείᾳ ἀμέμπτῳ σου, ἐτράνωσας πᾶσι, καὶ ὡς πλοῦτον εὐκληρίας, χρηστῆς παρέδωκας.

Στ.: *Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ.*

Χαίρει, Βηθσαϊδὰ ἐπὶ σοί, τῆς Ἰουδαίας ἡ πολίχνη ἡ εὔσημος, τῇ θείᾳ σου πανηγύρει, ὦ Πετρονίλα σεμνή, μητρικῶς κροτοῦσα, σὴν ἀνάδειξιν, ὡς ἄνθος ἐκ ταύτης, ἀειθαλὲς γὰρ ἐξήνθησας, καὶ τὰς αἰσθήσεις, τῶν πιστῶν κατεμύρισας, τῇ ἀῤῥήτῳ σου, εὐωδίᾳ τῆς χάριτος· ταύτης ἡμᾶς ἀξίωσον, ταῖς σαῖς παρακλήσεσιν, ἐν κοινωνίᾳ γενέσθαι, καὶ τῶν παθῶν ἀποκρούσασθαι, πικρὰν δυσωδίαν, ἵνα φῶς σὺν τοῖς φρονίμοις, παρθένοις ἴδωμεν.

*Δόξα. Ἦχος πλ. α΄.*

Τῆς θεοπρεποῦς σου πολιτείας τὴν κοσμιότητα, ἐν ὕμνοις μεγαλύνω, Πετρονίλα παμμακάριστε. Σὺ γὰρ ἐν τῷ οἴκῳ τοῦ πατρός σου, Πέτρου τοῦ πιστωνύμου Ἀποστόλου, ὡς στῦλος ἐδείχθης εὐσεβείας ὑψηλός, καὶ ὡς ἐλαία ἐν ἀρεταῖς κατάκαρπος. Θεῷ τε ἐδούλευσας ἀπὸ καρδίας καθαρᾶς, καὶ ἐν εὐθήτητι τῆς ἀγαθῆς σου διανοίας, Αὐτοῦ ἠκολούθεις τοῖς προστάγμασι, εὐάρεστον γενομένη τῆς ἀγάπης ἀφιέρωμα. Σὺν τοῖς λοιποῖς τε ἀδελφοῖς σου, τῷ ἤθει ὁμοφρόνως ἔχουσα, ἐν τῷ Εὐαγγελίῳ προέκοψας, καὶ εἰς ἁγιότητι διεκρίθης ὑπερέχουσαν, ταῖς διδαχαῖς

ταῖς πατρικαῖς ὑπείκουσα ἐν εὐπειθείᾳ. Γενοῦ ἡμῖν καὶ νῦν διδασκαλίας στόμα, ἵνα μάθωμεν παρὰ σοῦ τίς ἐστίν, ἡ τῆς γνώσεως δωρεά, καὶ τῆς ἀληθείας ἡ ἀνταπόδοσις.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α’. Τῆς ἐρήμου πολίτης.*

Τῆς σεμνῆς βιοτῆς σου Πετρονίλα τὰς χάριτας, πόθῳ φιλαγίῳ τιμῶμεν, καὶ πιστῶς ἐκθειάζομεν· σαρκός σου γὰρ νεκρώσασα ὁρμάς, τοῦ Πνεύματος ἐδέξω δωρεάς, καὶ σὺν Πέτρῳ Ἀποστόλῳ τῷ σῷ πατρί, τὴν Βασιλείαν ἔλαβες· χαίροις, τῆς θείας πίστεως λαμπάς, χαίροις ἐλπίδος δώρημα, χαίροις τῆς θεωρίας ἡ βαθμὶς ἀγάπης ἡ τελείωσις.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α’ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α’. Τὸν τάφον Σου Σωτήρ.*

Ἑόρτιον πιστοί, συγκροτήσαντες αἶνον, τιμήσωμεν ᾠδαῖς, Πετρονίλαν τὴν θείαν, ὁ Πέτρος ὁ Ἀπόστολος, τοῦ Χριστοῦ ἣν ἐγέννησε· ταύτῃ λέγοντες, φωναῖς αἰσίαις τὸ χαῖρε· σεμνολόγημα, τῶν γυναικῶν τῶν Ἁγίων, πιστῶν τὸ ὑπόδειγμα.

*Δόξα.*

Τὸν νόμον τοῦ Θεοῦ, καθαρᾷ συνειδήσει, καὶ ὅλῃ σου σπουδῇ, Πετρονίλα ἐτήρεις, ἀγάπην γὰρ ἐφήρμοσας, πρὸς Θεὸν καὶ τὸν ἕτερον, πίστιν ἄμεμπτον, τὴν σταθηράν τε ἐλπίδα· ὅθεν γέγονας, Τριάδος θείας τὸ σκεῦος, καὶ Πνεύματος ὄργανον.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Μετὰ τὴν β' Στιχολογίαν,*

*Κάθισμα. Ἦχος πλ. δ'. Τὸ προσταχθέν.*

Ἡ εὐκλεὴς Ἀποστόλων πανδημία, τῇ ἱερᾷ ἑορτῇ σου συγχορεύε, καὶ συνάδει σοι αἴνους ἐν ἀγαλλιάσει, τοῦ Πέτρου τοῦ κορυφαίου γὰρ ἐξ αὐτῶν, ὑπάρχεις ἡ θυγατέρα ἡ ἐκλεκτή· Πετρονίλα πανεύφημε, τῆς Ἐκκλησίας τιμή, καὶ δόξα τῶν βοώντων σοι· χαίροις Κόρη πανόλβιε.

*Δόξα.*

Σοῖς ὀφθαλμοῖς τὸν Θεάνθρωπον κατεῖδες, ἐν τῇ οἰκείᾳ τοῦ πατρός σου Πετρονίλα, ἀναστήσαντα κλίνης ἀπὸ ἀσθενείας, σὴν μάμμην τὴν ἐν τῷ πάθει τοῦ πυρετοῦ, κειμένην ἥτις προστάξει τοῦ Ἰησοῦ, ἰαθεῖσα προσέφερεν, διακονίαν πολλοῖς, τὸ σθένος θαυμαστώσασα, τοῦ Θεοῦ τῶν δυνάμεων.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Μετὰ τὸν Πολυέλεον,*
*Κάθισμα. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ*

Ἐπαγάλλεται ἐν σοί, μητροπρεπῶς Βηθσαΐδά, ἡ πολίχνη ἡ μικρά, τῆς Ἰουδαίας καὶ σκιρτᾷ, ὅτι ἐκ ταύτης ἀνέθαλες Πετρονίλα, δένδρον ὡς σεπτόν, καὶ καλλίκαρπον, φέρουσα Θεῷ ὡς βλαστήματα, τῶν ἀρετῶν τὰς θείας ἀριστείας, καὶ τὴν ἠθῶν τελειότητα, αὐταῖς προκόπτειν καὶ ἀναβαίνειν, ἐν καλοῖς ἡμῖν δίδου.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον: *Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις.*

Στ.: *Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ.*

Εὐαγγέλιον, τῶν Δέκα Παρθένων.

Ὁ Ν' ψαλμός.

Δόξα: *Ταῖς τῆς Σῆς Ἁγίας...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β'. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Μακαρία σὺ εἶ ἀληθῶς, Πετρονίλα παναοίδιμε, καὶ ἐν σοὶ ὁ λόγος τοῦ Θεοῦ πεπλήρωται, εἰπόντος ἐν Εὐαγγελίῳ· μακάριοι εἰσὶ οἱ φυλάσσοντες τὰ ἐντολάς μου. Τὸν νόμον γὰρ τὸν ἅγιον ἐφύλαξας, καθὼς ὁ πατήρ σου σὲ ἐδίδαξε, Πέτρος ὁ Ἀπόστολος, ὁ τοῦ Θεοῦ ὑπηρέτης, ἐν παιδείᾳ σε καὶ νουθεσίᾳ Κυρίου ἀναθρέψας. Σὺν τούτῳ ἐκτενῶς ἱκέτευε, ὅπως

μαθόντες τῆς γνώσεως τῆς ἀληθοῦς τὰ δικαιώματα, ἐν αὐτοῖς περιπατήσωμεν, καὶ οἰκείως ἔχωμεν Θεῷ, τῷ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Εἶτα, οἱ Κανόνες· τῆς Ἑορτῆς, καὶ τῆς Ἁγίας οὗ ἡ ἀκροστιχίς:*Πετρονίλαν ᾄδω, τὴν τοῦ Πέτρου θυγατέρα. Ἰσιδώρας.*

*Ὠδὴ α'. Ἦχος α'. Ἀναστάσεως ἡμέρα.*

Παρακλήτου ταῖς ἀκτῖσι, αὐγασθεῖσα τὸν νοῦν, πάνσεμνε Πετρονίλα, Εὐαγγελίου τὴν ὁδόν, ἐπορεύθης ἀκλινῶς, καὶ ἔγνως τὸ φῶς, ζωῆς τὸ λαμπρότατον, διὰ βίου σου σώφρονος.

Ἐν τῇ πέτρᾳ Πετρονίλᾳ, τῇ ἁγίᾳ Χριστοῦ, ἕστησας σοῦ τοὺς πόδας· ὅθεν τὰ πάθη τῆς σαρκός, ἀπεδίωξας μακράν, καὶ ὤφθης εἰκών, χρηστῆς καθαρότητος, ἀπαθείας τε σκήνωμα.

Τοὺς ἐνθέους σου ἀγῶνας, τὴν σεμνὴν βιοτήν, ἄθλους σου τοὺς τιμίους, τὰς ἀρετάς σου τὰς πολλάς, Πετρονίλα ἐν ᾠδαῖς, καὶ ὕμνοις τιμῶ, τὸ χαῖρε κραυγάζων σοι, ψαλμικῶς ἀγαλλόμενος.

Ῥοδοβόλον εὐωδίαν, ἐξ Ἐδὲμ νοητήν, πνέει τοῖς ἐν τῷ κόσμῳ, τῆς Πετρονίλης τῆς σεμνῆς, ἡ ἁγία ἑορτή, πιστῶν τὰς ψυχάς, ἐνθέως μυρίζουσα, τῇ ἀΰλῳ τερπνότητι.

*Θεοτοκίον.*

Οὐρανῶν Σὺ πλατυτέρα, Χερουβὶμ τε ἁγνή, ὤφθης τιμιωτέρα, τὸν γὰρ ἀχώρητον παντί, Ὃν ὑμνοῦσιν

εὐλαβῶς, Ἀγγέλων χοροί, χερσί Σου ὡς νήπιον, Θεοτόκε ἐβάστασας.

*Ὠδὴ γ’. Δεῦτε πόμα πίωμεν καινόν.*

Νεύσει Πετρονίλα θεϊκῇ, τὴν τοῦ κόσμου παραβλέψας ματαιότητα, καὶ σῆς καρδίας στοργήν, ἀπέδως Νυμφίῳ σου Χριστῷ, τῷ σὲ ἁγιάσαντι.

Ἴδε ἐκβοᾷ Βηθσαϊδά, ἐκ τῆς γῆς μου προῆλθε ὡς θεοπάροχος, ἁγιωσύνης βλαστός, κλεινὴ Πετρονίλα γυναικῶν, τὸ ἔξοχον ἄκουσμα.

Λάμπεις ὡς ἀστὴρ ἑωθινός, Πετρονίλα Ἁγία καὶ τὸ στερέωμα, τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ταῖς σαῖς ἀπροσίτοις καλλοναῖς, φαιδρύνεις ἐν χάριτι.

Ἄγει ἑορτὴν χαρμονικήν, Ἀποστόλων ὁ δῆμος ἐν σοὶ ὁ ἅγιος, ὦ Πετρονίλα καὶ γάρ, τοῦ Πέτρου τοῦ πρώτου ἐξ αὐτῶν, ὑπάρχεις θυγάτριον.

*Θεοτοκίον.*

Νήπιον ὡς βρέφος Σαῖς χερσί, τὸν Θεὸν τὸν παντέλειον Σὺ ἐβάστασας, ὦ Παναγία σεμνή, Πατρὸς εὐδοκίᾳ καὶ βουλῇ, ἐλεύσει τε Πνεύματος.

*Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Ὥσπερ ἄνθη εὐώδη καὶ ἱερά, τῇ ἁγίᾳ καὶ θείᾳ σου ἑορτῇ, τοὺς ὕμνους σοι προσφέρομεν, Πετρονίλα πανεύφημε, καὶ ἀκορέστῳ πόθῳ, τὸ χαῖρε βοῶμέν σοι· τῆς γὰρ χαρᾶς τῆς κρείττονος, ἐγένου συμμέτοχος· πάντα γὰρ τοῦ κόσμου, τὰ ἡδέα ἠρνήσω, Κυρίου ἀκούσασα, τοῖς ἀνθρώποις προστάξαντος,

σκύβαλα ἡγεῖσθαι κενά, καὶ εὐτελέστερα χόρτου τὰ πρόσκαιρα, ἵνα ἄφθαρτον δόξαν, εἰς αἰῶνας κερδίσωμεν.

*Δόξα.*

Ἐν τῇ πέτρᾳ τῆς πίστεως τῇ στεῤῥᾷ, καὶ ἐν νόμῳ ἁγίῳ τῶν ἐντολῶν, τοὺς πόδας σου ἐστήριξας, Πετρονίλα φερώνυμε, καὶ τὴν εὐθεῖαν τρίβον, προθύμως διήνυσας, τῶν ἀρετῶν εἰς ἔνθεον, ἀκρώρειαν φθάσασα· ὅθεν ἀπαθείας, φωτοφόρος λυχνία, ἐγένου ταῖς χάρισι, κοσμηθεῖσα τοῦ Πνεύματος, καὶ τῇ κτίσει ἐκλάμπουσα, αὔγασον ἡμᾶς σῷ φωτί, ἵνα γενώμεθα δόξης συμμέτοχοι, καὶ εὐφρόσυνον κέρδος, ἀγαθότητος λάβωμεν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*ᾨδὴ δ’. Ἐπὶ τῆς θείας φυλακῆς.*

Ἀριδηλότητι ζωῆς, τῆς καθαρᾶς σου καὶ σεμνῆς, τάξεις τῶν Ἁγίων Ἀγγέλων, Πετρονίλα ἔφθασας, μετὰ σαρκὸς ὡς ἄσαρκος, ζήσασα ἐπὶ γῆς ἐν συνέσει, καὶ τὸν Θεὸν τοῦ παντός, κατεμεγάλυνας.

Δικαιοσύνης τῷ φωτί, καταυγασθεῖσα νοητῶς, τρίβον Πετρονίλαν εὐθεῖαν, ἐντολῶν ἐβάδισας, καὶ ἀπροσκόπτως ἔφθασας, αἴσιον Παραδείσου εἰς πέρας, δοξολογοῦσα Θεόν, τὸν σὲ καλέσαντα.

Ὥσπερ ἡ ἔλαφος ταχύ, εἰς τῶν ὑδάτων τὰς πηγάς, ἦλθες Πετρονίλα Ἁγία, καὶ ψυχῆς σου ἔσβεσας, πληρωτικῶς τὴν ἔφεσιν, ἔγνωκας ἐν μεθέξει δὲ θείᾳ, ὅτι Χριστὸς τῆς ζωῆς, ἐστὶ τὸ πλήρωμα.

Τελειοτάτης σου ζωῆς, ὦ Πετρονίλα τὰ καλά, λόγος οὐχ ἀρκέσει ὑμνῆσαι, σῆς ψυχῆς τὸ ἄδολον, καὶ τὸ ἁπλοῦν τῶν τρόπων σου, φρόνημα ταπεινὸν σῆς καρδίας, καὶ πολιτείας χρηστῆς, τὰ προτερήματα.

*Θεοτοκίον.*

Ἡ Σὴ γαστὴρ τῶν οὐρανῶν, ὡς πλατυτέρα ἀληθῶς, γέγονε Παρθένε Μαρία, ἐν αὐτῇ ἐχώρησε, ὁ ἐν παντὶ ἀχώρητος, Κύριος καὶ Θεὸς τῶν ἁπάντων, τοῦ δικαιῶσαι Ἀδάμ, τὸν πρὶν κατάκριτον.

*ᾨδὴ ε'. Ὀρθρίσωμεν ὄρθρου βαθέος.*

Νεώσασα κόποις ἐνθέοις, καὶ εὐσεβείας ἀρότρῳ τὴν αὔλακα σῆς καρδίας, πολλαπλῶς ἐθέρισας, ὦ Πετρονίλα πάνσεμνε, στάχυν ζωῆς τὸν ἀθάνατον.

Τρανώσασα νόμον Κυρίου, ἐν ἀγαθότητι πάσῃ ἐκέρδισας Πετρονίλα, τῆς ζωῆς τὸν στέφανον, καὶ εἰς Ἐδὲμ κατώκησας, ἔνθα χορεύεις αἰώνια.

Οὐράνιον ἔσχες τὸν τρόπον, καὶ πολιτείαν Ἀγγέλων ἐξήσκησας Πετρονίλα, τὴν τῆς γῆς ἀπόλαυσιν, ὡς εὐτελῆ καὶ ἄσημον, ὅλῃ ψυχῇ σου μισήσασα.

Ὑφάνασα δόξης χιτῶνα, ὦ Πετρονίλα τοῖς ἄνω παρίστασαι λευκοφόρος, ἐν τιμῇ ἐκλάμπεις τε, κεκοσμημένη πάντοθεν, θείας ζωῆς ὡραιότησιν.

*Θεοτοκίον.*

Παράδεισος ὤφθη ὡραῖος, ἡ παναγία γαστήρ Σου ἀνύμφευτε Θεοτόκε, τῆς ζωῆς βλαστήσασα, τὴν καρποφόρον ἄμπελον, ἄνευ σπορᾶς τῆς ἐξ ἄῤῥενος.

*Ὠδὴ στʹ. Κατῆλθες, ἐν τοῖς κατωτάτοις τῆς γῆς.*

Εἰρήνης, τῆς οὐρανογνώστου εἰκών, τῆς ἐλπίδος τε ἰσχὺς ἀκεραία, ἀγάπης πεπληρωμένος κρατήρ, καὶ τῆς πίστεως, Πετρονίλα σὺ στεῤῥά, ἀνεδείχθης ἀκρότης.

Τραπέζης, τῆς βασιλικῆς δαιτυμών, ἐν λαμπρότητι στολῆς τῆς ἀφθάρτου, Δικαίοις ᾧ Πετρονίλα ὁμοῦ, νῦν παρίστασαι, καὶ μετέχεις ἀγαθῶν, αἰωνίων ἐν δόξῃ.

Ῥαθύμου, καὶ τῆς ἀμελοῦς βιοτῆς, Πετρονίλα ἀπεβάλου τὸν ὄκνον, καὶ ζῆλον ἀναλαβοῦσα καλόν, διετήρησας, τὴν λαμπάδα σῆς ψυχῆς, πεπλησμένην ἐλαίου.

Ὁ Πέτρος, ὁ τῶν Ἀποστόλων Χριστοῦ, περιώνυμος τῇ πίστει καὶ μέγας, συγχαίρει πατροποθήτως ἐν σοί, τὴν πανεύσημον, ἑορτήν σου ὑπαντῶν, Πετρονίλα τιμία.

*Θεοτοκίον.*

Ὑμνῶ Σε, μετ᾽ ἀνεξαντλήτου στοργῆς, Παναγία Θεοτόκε Παρθένε, ἣν τάξεις τῶν οὐρανίων χορῶν, ὡς Βασίλισσαν, οὐρανοῦ τε καὶ τῆς γῆς, ἀνυμνοῦσιν ἀπαύστως.

*Κοντάκιον. Ἦχος πλ. δʹ. Τῇ ὑπερμάχῳ.*

Τῶν Ἀποστόλων συγγενῆ σε ὀνομάζομεν, ὡς θυγατέρα εὐκλεῆ καὶ περιώνυμον, Πέτρου τούτων τοῦ ἐξέχοντος Πετρονίλα· ἐν συνέσεως τοῖς τρόποις ἀριστεύσασα, νῦν βραβεύεις ἐν ἐλέει γὰρ χρηστότητος, τοὺς βοῶντάς σοι· Χαίροις, πέτρα τῆς πίστεως.

*Ὁ Οἶκος.*

Ἄσωμεν εὐαρέστως, Πετρονίλαν τὴν θείαν, τοῦ Πέτρου θυγατέρα τιμίαν· τῷ πνεύματι σκιρτῶντες δὲ φιλέορτοι, ἐν σάλπιγγι εὐήχῳ ἐπαινέσωμεν, αὐτῆς τὴν πολιτείαν τὴν θεάρεστον, καὶ ἐν φωνῇ ἀγαλλιάσεως, ταύτῃ εἴπωμεν χαρμοσύνως·

Χαίροις, ὁ ὅρος τῆς εὐσεβείας·
χαίροις, τὸ μέτρον Θεοῦ φιλίας.
Χαίροις, Πέτρου Ἀποστόλου, ἡ θυγάτηρ ἡ κλεινή·
χαίροις, πίστεως ἁγίας, ἡ εὐάρμοστος χορδή.
Χαίροις, ἀρετῶν ἐνθέων, ἡ ὑπέρτιμος ταυτότης·
χαίροις, τῆς Θεοῦ ἀγάπη, ἡ γνησία ὡραιότης.
Χαίροις, δένδρον καρποφόρον, πόλεως Βηθσαϊσδά·
χαίροις, Παραδείσου ἄνθος, καὶ εὐώδης προσφορά.
Χαίροις, ἤθεσιν ἀμέμπτοις, ἡ καλῶς διακριθεῖσα·
χαίροις, δόξης ἐν ἐπαίνοις, εὐκλεῶς ἡ κοσμηθεῖσα.
Χαίροις, τοῦ φωτὸς τὸ κάλλος θεωροῦσα θαυμαστῶς·
χαίροις, σὺν Ἀγγέλους ὕμνους ἡ προσάγουσα Θεῷ.
Χαίροις, πέτρα τῆς πίστεως.

*Συναξάριον.*

*Τῇ ΛΑ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῆς Ἁγίας ΜάρτυροςΠετρονίλας*

*Πέτρου σὺ βλαστὸς ὑπάρχεις Πετρονίλα,*
*πίστεως ὁμου κατάκαρπος ἐλαία.*
*Αἴνει ψαλμικῶς, Βηθσαϊδὰ σὺν γόνου,*
*σκίρτα τε Ἐδὲμ ὑμνοῦσα Πετρονίλαν.*

*ᾨδὴ ζ΄. Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος.*

Θαυμάσας, τῆς ψυχῆς σου τὸ εὔσχημον, ὁ πάντων τὰ κρύφια, βλέπων ὡς Θεός, σὲ Πετρονίλα θαυμαστή, τοῦ δουλεῦσαι Αὐτῷ προσεκάλεσε, καὶ δόξης ἐπαινετῆς τῷ στεφάνῳ, ἀξίως σὲ ἐκόσμησεν.

Ὑδάτων, Πετρονίλα σὲ ἔγνωμεν, χειμάῤῥουν ἀείῤῥυτον, κρήνην τῶν καλῶν, τῶν χαρισμάτων ποταμόν, ἀρεταῖς ἐν ἁγίαις πληρέστατον, καρδίας τῶν εὐσεβῶς σε τιμώντων, δροσίζουσα ἑκάστοτε.

Γαλήνης, ἀταράχου λιμένα σε, καὶ ὅρμον ἀχείμαστον, θείας χαρμονῆς, εἰρηνοδώρων ἀγαθῶν, Πετρονίλα σε σκεῦος γινώσκομεν, μεγάλων εὐλογιῶν τε σφραγίδα, καὶ πλοῦτον ἁγιότητος.

Ἀστέρα, οἱ ἐν σκότει σὲ εἴδομεν, λαμπρὸν καὶ ὑπέρφωτον, ἐν Βησθαϊδά, ἐξανατείλασα εἰς γῆν, Πετρονίλα καὶ κόσμον αὐγάζουσαν, τῷ κάλλει τῶν εὐπρεπῶν ἀρετῶν σου, ψυχάς τε ἱλαρύνουσα.

*Θεοτοκίον.*

Τὸν τόκον, τὸν σεπτόν Σου καὶ ἅγιον, ἐθαύμασαν Ἄγγελοι, Κόρη Μαριάμ, καὶ τῶν ἀνθρώπων γενεαί, εὐλαβῶς μεγαλύνουσιν ᾄσμασιν, τὸν τρόπον τοῦ μυστηρίου δὲ φρᾶσαι, οὐδεὶς ῥητόρων δύναται.

*ᾨδὴ η΄. Αὕτη ἡ κλητή.*

Εὗρες ἐν Θεῷ ἀρεστὴν παῤῥησίαν, Ἁγία Πετρονίλα, τῶν ἐντολῶν γὰρ τὸν νόμον, συνειδήσει ψυχῆς, καὶ ἀμέμπτῳ σου συνέσει ἐτήρησας, χαρᾶς δεξαμένη, τὸν πλοῦτον εἰς αἰῶνας.

Ῥύπον ἐμπαθῆ ψυχικῶν σου κηλίδων, ἐξέπλυνας ἐλέει τοῦ νοητοῦ σου Νυμφίου, Πετρονίλα σεμνή, καὶ χιόνος λευκοτέρα παρέστηκας, συνάψασα τούτῳ, πιστότητος συνθήκην.

Ἄγει ἑορτὴν καὶ πανήγυριν θείαν, εὐσήμῳ ἐν ἡμέρᾳ, τῆς παναγίας σου μνήμης, τῶν Ἀγγέλων χορούς, Πετρονίλα συγκαλοῦσα εἰς αἴνεσιν, τιμῇ γὰρ καὶ δόξῃ, ἰσάγγελος ὑπάρχεις.

Ἵλεων ἡμῖν τὸν Θεὸν ἀπεργάζου, ταῖς σαῖς ἀκαταπαύστοις, καὶ εὐπροσδέκτοις πρεσβείαις, ὡς φιλάνθρωπος γάρ, ἐπακούει τῶν Ἁγίων ἑκάστοτε, θερμῶς δεομένων, ὑπὲρ παντὸς τοῦ κόσμου.

*Θεοτοκίον.*

Σύσκιον δασὺ καὶ κατάσκιον ὄρος, προεῖδεν ὁ Προφήτης, ὁ Ἀββακοὺμ Σε Παρθένε, τῆς ἁγνείας τῆς Σῆς, τὴν πληρότητα δηλῶν τὴν ἀπόῤῥητον, καὶ γὰρ ἀπειράνδρως, Θεοῦ ἐγένου Μήτηρ.

*ᾨδὴ θ’. Φωτίζου, φωτίζου.*

Ἰδών σου, τὸ κάλλος, καὶ τὴν εὐγένειαν ψυχῆς, ὁ Χριστὸς Πετρονίλα, νυμφικῶς ἠράσθη σου, τῶν ἀρετῶν ἐπιδόσει δὲ σύ, Τούτῳ ἀεί, ἥνωσαι ἐν δόξῃ, καὶ εὐφροσύνης πληρότητι.

Διψώσῃ, καρδίᾳ, εἰς τῶν ὑδάτων τὰς πηγάς, ὥσπερ ἔλαφος θεία, Πετρονίλα ἔδραμες, νάματα οὖν, ἀθανάτου ζωῆς, πόθῳ πολλῷ, ἔπιες ἀπαύστως, εὐχαριστοῦσα τὸν Κύριον.

Ὡς ἔαρ, εὐῶδες, ὡς ἀγαλλίαμα τερπνόν, ἡ σεπτὴ ἑορτή σου, εὐπρεπῶς ἀνέτειλε, πάντας πιστούς, συγκαλοῦσα ὁμοῦ, ὕμνους καινούς, ψάλλειν Πετρονίλα, πνευματικὴν εἰς ὑπάντησιν.

Ῥημάτων, τοῖς φθόγγοις, ἐγκωμιάσωμεν πιστοί, θεοκήρυκος Πέτρου, θυγατέρα πάνσεμνον· χαίροις αὐτῇ, προσφωνοῦντες χαρᾷ, εὗρες καὶ γάρ, θεία Πετρονίλα, ἀντὶ φθαρτῶν τὰ αἰώνια.

Ἀγάλλου, εὐφραίνου, ἡ ταπεινὴ Βηθσαϊδά, ἐκ τῆς γῆς σου γὰρἄνθος, εὐθαλὲς ἀνέθαλεν, Πέτρου κλεινοῦ, ἡ σεμνὴ κορασίς, καὶ τῷ Θεῷ, δέδοται ὡς δῶρον, ἡ Πετρονίλα ἡ ἔνδοξος.

*Θεοτοκίον.*

Σοὶ πρέπει, τὸ χαῖρε, Παρθενομῆτορ Μαριάμ, τῆς γὰρ Εὔας τὴν λύπην, εἰς χαρὰν μετέτρεψας, ἄνευ φθορᾶς, τὸν Θεὸν τοῦ παντός, μετὰ σαρκός, Σὺ γὰρ ὡς τεκοῦσα, ζωῆς γεγένησαι πρόξενος.

*Ἐξαποστειλάριον. Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.*

Τοῦ Ἀποστόλου Πέτρου, τὴν θυγατέρα τὴν σεμνήν, ἐν ἀρεταῖς τιμίαις, τὴν ἀριστεύσασαν καλῶς, τὴν Πετρονίλαν ἐν ὕμνοις, κατακοσμήσωμεν θείοις.

*Ἕτερον. Ὅμοιον.*

Εἰς τοῦ Χριστοῦ τὴν πέτραν, στερεωθεῖσα ἀῤῥαγῶς, ἐν τοῖς καλοῖς ἀγῶσιν, ὦ Πετρονίλα θαυμαστή, τῆς Βασιλείας τὴν δόξαν, μετὰ Δικαίων ἐκτήσω.

*Καὶ τὸ τῆς Ἑορτῆς.*

*Αἶνοι. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Χαίροις, Πετρονίλα πάνσεμνε! τῶν ἱερῶν γυναικῶν, ἡ σεμνὴ ὑποτύπωσις, τῆς θείας λαμπρότητος, ἡ στολὴ ἡ ὑπέρκαλλος, τῆς σωφροσύνης τὸ ἐνδιαίτημα, ἠθῶν ἀμέμπτων, ἡ ἐπαλήθευσις· χαίροις κεφάλαιον, τῆς στοργῆς πρὸς Κύριον! ἣν ἐν πολλοῖς, ἔδειξας χαρίσμασι, καὶ προτερήμασιν.

Χαίρει, καὶ σκιρτᾷ τῷ πνεύματι! ἀγαλλομένῃ ψυχῇ, εὐφροσύνης πληρούμενος, ὁ Πέτρος ὁ μέγιστος, Ἀποστόλων ὁ πρόκριτος· ὡς γὰρ πατήρ σου ἐγκωμιάζεται, ὦ Πετρονίλα τῇ πανηγύρει σου, χεῖρας οὖν ἄρατε, ἐκτενῶς πρὸς Κύριον! ὑπὲρ ἡμῶν, δέησιν ποιούμενοι, εὐπαῤῥησίαστον.

Δόξαν, ἡ πατρίς σου σήμερον! Βηθσαϊδὰ συγκροτεῖ, τῶν ἐθνῶν τὴν ὁμήγυριν, καλοῦσα εἰς αἴνεσιν, καὶ ἑόρτιον σύναξιν, τοῦ ἐπαινέσαι ἐν μελῳδήμασιν, σὲ Πετρονίλα ἀειμακάριστε, σὺ γὰρ ὑπέρκεισαι, εὐγενείᾳ κρείττονι! ὁ σὸς πατήρ, Πέτρος γὰρ ἐκήρυξε, Χριστὸν τοῖς πέρασιν.

Θαῦμα, θαυμαστὸν ἐτέλεσεν! ἐν τῇ οἰκίᾳ τῇ σῇ, ἐξουσίᾳ δυνάμεως, Χριστὸς ὁ φιλάνθρωπος, Πετρονίλα ἀοίδιμε, τῆς γὰρ μητρός σου μήτηρ πυρέσσουσα, χειρὸς προσψαύσει πάλιν ὑγίωται· πάντες οὖν ἄφραστον, ἐν αὐτοῦ ἐλάβετε! τὴν δωρεάν, ὅτι ἐτιμήθητε, Θεοῦ ἐγγύτητι.

*Δόξα. Ἦχος πλ. α΄.*

Συντυχίας σου τῆς πρὸς Θεόν, πῶς μὴ αἰνέσω μεγαλοφώνως τὴν εὔνοιαν, Πετρονίλα μεγαλώνυμε;

Πέτρου γὰρ τοῦ πιστοῦ μεγαλοκήρυκος, σὺ θυγάτηρ πέφυκας εὐκλεὴς καὶ περιάκουστος, καὶ τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ, πιστοτάτη δούλη καὶ θεράπαινα. Τὰς ἐντολὰς οὖν ἠγάπησας, καὶ ἐν αὐταῖς εὐθυτενῶς τὰ διαβήματά σου κατευόδωσας, εἰς τὴν πέτραν τῆς πίστεως στηριχθεῖσα κραταιῶς, καὶ τὴν σὴν ἐπώνυμον κλῆσιν οὕτως βεβαιώσασα· ἔτι γὰρ Χριστὸν τὸν Θεόν, κατηξιώθης ἐν τῇ οἰκίᾳ τοῦ πατρός σου ἰδεῖν, καὶ τούτου τὸ θαῦμα βεβαιῶσαι τὸ φρικτόν, ὅτι τὴν μητέρα τῆς μητρός σου ἐθεράπευσε, τῇ προσψαύσει τῆς χειρὸς Αὐτοῦ καὶ ἐγερθεῖσα Τούτῳ διηκόνησεν. Δέησιν ὁμοῦ ποιήσατε πρὸς Κύριον, τοῦ γενέσθαι καὶ ἡμᾶς, τῆς Αὐτοῦ ἀγάπης οἶκος καθαρός, καὶ τῆς οὐρανίου ἐργασίας πρόθυμοι διάκονοι.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Χαίρει ἡ πατρίς σου Βηθσαϊδά, σοῦ τῇ ἀναδείξει, Πετρονίλα τῇ ἱερᾷ· χαίρει τε συνάμα, ὁ δῆμος Ἀποστόλων, πατήρ σου γὰρ ὁ Πέτρος, τούτων προΐσταται.

